ὃ δ', ὡς κρατῶν δὴ καὶ νενικηκὼς μάχη,
ξίφος δικὼν εἰς γαῖαν ἐσκύλευέ νιν,
τὸν νοῦν πρὸς αὑτὸν οὐκ ἔχων, ἐκεῖσε δέ.
ὃ καί νιν ἔσφηλ'· ἔτι γὰρ ἐμπνέων βραχύ,
σῴζων σίδηρον ἐν λυγρῷ πεσήματι,
μόλις μέν, ἐξέτεινε δ' εἰς ἧπαρ ξίφος
Ἐτεοκλέους ὁ πρόσθε Πολυνείκης πεσών.
γαῖαν δ' ὀδὰξ ἑλόντες ἀλλήλων πέλας
πίπτουσιν ἄμφω κοὐ διώρισαν κράτος.
ΧΟ. φεῦ φεῦ, κακῶν σῶν, Οἰδίπου, σ' ὅσων στένω·
τὰς σὰς δ' ἀρὰς ἔοικεν ἐκπλῆσαι θεός.
ΑΓΓ. ἄκουε δή νυν καὶ τὰ πρὸς τούτοις κακά.
ἐπεὶ τέκνω πεσόντ' ἐλειπέτην βίον,
ἐν τῷδε μήτηρ ἡ τάλαινα προσπίτνει.
τετρωμένους δ' ἰδοῦσα καιρίους σφαγὰς
ᾤμωξεν· ὦ τέκν', ὑστέρα βοηδρόμος
πάρειμι. προσπίτνουσα δ' ἐν μέρει τέκνα
ἔκλαι', ἐθρήνει τὸν πολὺν μαστῶν πόνον
στένουσ', ἀδελφή θ' ἡ παρασπίζουσ' ὁμοῦ·
ὦ γηροβοσκὼ μητρός, ὦ γάμους ἐμοὺς
προδόντ' ἀδελφὼ φιλτάτω. στέρνων δ' ἄπο
φύσημ' ἀνεὶς δύσθνητον Ἐτεοκλῆς ἄναξ
ἤκουσε μητρός, κἀπιθεὶς ὑγρὰν χέρα
φωνὴν μὲν οὐκ ἀφῆκεν, ὀμμάτων δ' ἄπο
προσεῖπε δακρύοις, ὥστε σημῆναι φίλα.
ὃ δ' ἦν ἔτ' ἔμπνους, πρὸς κασιγνήτην δ' ἰδὼν
γραῖάν τε μητέρ' εἶπε Πολυνείκης τάδε·

---

*σὺν παρθένῳ τε καὶ προθυμίᾳ ποδός*

---

1423. om. A *ἀλλήλοιν* c 1425. schol.: *ΧΟ. τινὲς Κρέων. Οἰδίπου, σ' ὅσων στένω*] *οἰδίπου σὸς ὢν στένω γρ. ὅσον στένω* A *οἰδίπου σὸς ὢν στένω* BE *οἰδίπου* (*ὅσον* in rasura) *στένω* F *οἰδίπου στένω* b *οἰδίπου ὅσον στένω* c *C* 1426. *ἐκπλήσειν* bc 1428. *ἐπεὶ τέκνωι πεσόντ' ἐλιπέτην βίον γρ. ὡς γὰρ πεσόντε παῖδε λιπέτην βίον* A *ἐπεὶ τέκνω πεσόντ' ἐλειπέτην βίον* BEFa (hic addens *γρ. ὡς γὰρ τέκνω πεσόντε λιπέτην βίον*) *ὡς γὰρ πεσόντε τέκν' ἐλειπέτην βίον* bc *ἐπεὶ τέκνω πεσόντ' ἐλιπέτην βίον C* 1431. *καιρίας C* 1433. *τέκνων C* 1438. *δύσθνητον* A *δύστλητον* ceteri. 1439. *λυγράν* bc 1442. *ὃ δ'*] Barnesius, *ὅδ'* libri.